πρῶτός ἐστιν καὶ οὐδενὶ
τῶν Β Γ Δ ὁ αὐτός. τὸν
Ζ ἄρα μετροῦσιν ἐλάσ-
σονα ὄντα τοῦ Α. ὅπερ
ἀδύνατον. ὁ γὰρ Α ὑ-
πόκειται ἐλάχιστος ὑ-
πὸ τῶν Β Γ Δ μετρούμε-
νος. οὐκ ἄρα τὸν Α με-
τρήσει πρῶτος ἀρ-
ιθμὸς παρὲξ τῶν Β Γ Δ. ὅπερ ἔδει δεῖξαι:



ιε

Ἐὰν τρεῖς ἀριθμοὶ ἑξῆς ἀνάλογον ὦσιν ἐλάχιστοι τῶν τὸν αὐτὸν λόγον ἐχόντων αὐτοῖς, δύο ὁποσοιοῦν (ὁποιοιοῦν) συντεθέντες πρὸς τὸν λοιπὸν πρῶτοί εἰσιν. ἔστωσαν τρεῖς ἀριθμοὶ ἑξῆς ἀνάλογον ἐλάχιστοι τῶν τὸν αὐτὸν λόγον ἐχόντων αὐτοῖς οἱ Α Β Γ. λέγω ὅτι τῶν Α Β Γ δύο ὁποσοιοῦν (ὁποιοιοῦν) συντεθέντες πρὸς τὸν λοιπὸν πρῶτοί εἰσιν· οἱ μὲν Α Β πρὸς τὸν Γ, οἱ δὲ Β Γ πρὸς τὸν Α, καὶ ἔτι οἱ Α Γ πρὸς τὸν Β. εἰλήφθωσαν γὰρ ἐλάχιστοι ἀριθμοὶ τῶν τὸν αὐτὸν λόγον ἐχόντων τοῖς Α Β Γ δύο οἱ ΔΕ ΕΖ. φανερὸν δὴ ὅτι ὁ μὲν ΔΕ ἑαυτὸν πολλαπλασιάσας τὸν Α πεποίηκεν. τὸν δὲ ΕΖ πολλαπλασιάσας τὸν Β πεποίηκεν. καὶ ἔτι ὁ ΕΖ ἑαυτὸν πολλαπλασιάσας τὸν Γ πεποίηκεν. καὶ ἐπεὶ οἱ ΔΕ ΕΖ ἐλάχιστοί εἰσι, πρῶτοι πρὸς ἀλλήλους εἰσίν. ἐὰν δὲ δύο ἀριθμοὶ πρῶτοι πρὸς ἀλλήλους ὦσιν, καὶ συναμφότερος πρὸς ἑκάτερον πρῶτός ἐστι. καὶ ὁ ΔΖ ἄρα [illegible] ἑκάτερον τῶν ΔΕ ΕΖ πρῶτός ἐστιν. ἀλλὰ μὴν καὶ ὁ ΔΕ πρὸς τὸν ΕΖ πρῶτός ἐστιν· οἱ ΔΖ ΔΕ ἄρα πρὸς τὸν ΕΖ πρῶτοί εἰσιν. καὶ ὁ ἐκ τῶν ΖΔ ΔΕ ἄρα πρὸς τὸν ΕΖ πρῶτός ἐστιν. ἐὰν δὲ δύο ἀριθμοὶ πρῶτοι πρὸς ἀλλήλους ὦσιν, ὁ ἀπὸ τοῦ ἑνὸς αὐτῶν γενόμενος πρὸς τὸν λοιπὸν πρῶτός ἐστιν. ὥστε ὁ ἐκ τῶν ΖΔ ΔΕ καὶ πρὸς τὸν ἀπὸ τοῦ ΕΖ πρῶτός ἐστιν. [illegible] ὁ ἄρα ἀπὸ τοῦ ΔΕ μετὰ [illegible] ἐκ τῶν ΔΕ ΕΖ [illegible] πρὸς τὸν ἀπὸ τοῦ ΕΖ [illegible] τοῦ ΔΕ μετὰ τοῦ ἐκ τῶν [illegible] πρῶτός ἐστι. καὶ ἔστιν ὁ μὲν ἀπὸ τοῦ ΔΕ ὁ Α· ὁ δὲ ἐκ τῶν ΔΕ ΕΖ ὁ Β· ὁ δὲ ἀπὸ τοῦ ΕΖ ὁ Γ· οἱ Α Β ἄρα συντεθέντες πρὸς τὸν Γ πρῶτοί εἰσιν. ὁμοίως δὴ δείξομεν ὅτι καὶ οἱ Β Γ πρὸς τὸν Α πρῶτοί εἰσιν. λέγω δὴ ὅτι καὶ οἱ Α Γ πρὸς τὸν Β πρῶτοί εἰσιν. ἐπεὶ γὰρ [illegible] ὁ ἀπὸ τοῦ [illegible] καὶ ὁ ἀπὸ τοῦ ΔΖ πρὸς τὸν ὑπὸ τῶν ΔΕ ΕΖ [illegible] ἀπὸ τοῦ ΔΖ ἴσοι εἰσὶν οἱ ἀπὸ τῶν ΔΕ ΕΖ μετὰ τοῦ δὶς ἐκ τῶν ΔΕ ΕΖ. καὶ οἱ ἀπὸ τῶν ΔΕ ΕΖ [ἄρα μετὰ τοῦ δὶς ὑπὸ ΔΕ ΕΖ πρὸς τὸν ὑπὸ ΔΕ ΕΖ] πρῶτοι [illegible] διελόντι. ὁ ἀπὸ τῶν ΔΕ ΕΖ μετὰ τοῦ ἅπαξ ὑπὸ ΔΕ ΕΖ πρὸς τὸν ὑπὸ ΔΕ ΕΖ πρῶτός ἐστιν. διελόντι. ὁ ἀπὸ τῶν ΔΕ ΕΖ ἄρα πρὸς τὸν ὑπὸ ΔΕ ΕΖ πρῶτός ἐστιν. καὶ ἔστιν ὁ μὲν ἀπὸ τοῦ ΔΕ ὁ Α· ὁ δὲ ὑπὸ τῶν ΔΕ ΕΖ ὁ Β· ὁ δὲ ὑπὸ τοῦ ΕΖ ὁ Γ· οἱ Α Γ ἄρα συντεθέντες πρὸς τὸν Β πρῶτοί εἰσιν· ὅπερ ἔδει δεῖξαι.



BODLEIANA

EUCLID *Elementa* BYZANTINE, 888 THE BODLEIAN LIBRARY Octavo